γειν, Ἄληθες ὦ μιαρά συ. εἶτα ζητεῖν, ποῦ ἐστὶν ὁ τοξότης; καὶ αὖθις ὡς ὑποδεεστέρου τέλους προσάπτειν ταῦτα, ξυλλαμβανὰ αὐτὴν. καὶ τὰ ἐπόμενα.

Ἀλλὰ τίς τούτων ἐγγυητὴς ἀξιόχρεως ἔσται;

διόπερ οὐδὲν ἀποδεικτέον, καὶ ἀβασανίστως κινητέον. Τῶν οὖν ὅστιν ἀνδρῶν ἐν τοῖς ἀδήλοις, καὶ τοῖς ἐκ ὀλίγου δόξειαν ἔχουσι, μηδὲν ἀβύλως κινεῖν. ἀλλὰ τὴν παλαιὰν γραφὴν ἀκριβῶς τηρεῖν, ἕως ἂν βελτίονος τύχωσι. Τὰς μὴν τῶν τῆδε ἐμπειροτέρων ἀνδρῶν γνώμας, καὶ διαφόρους ἐξηγήσεις δηλῶσι πάνυ καλὸν, καὶ λυσιτελές. ὁ δ' νῦν λαλῶν, ὅστις ποτ' ἂν εἴη, εἴτε ὁ Πρόβουλος, εἴτε τις ὑπηρέτης, τὴν Λυσιστράτην ἐκ τῆς ἀκροπόλεως ἐξελθοῦσαν ἰδὼν, αὐτὴν ὑπὸ τῆδε τοξοτῆδε ταχέως ξυλλαμβάνεσθαι, καὶ δεσμεύεσθαι κελεύει. ἡ δὲ, καὶ ἡ Στρατυλλὶς ἀλλήλαις συνεργοῦσι, καὶ βοηθοῦσι γυναῖκες ὑπομάχουσαι, καὶ τὴν ἀνδραπόδων βίαν ἀπωθοῦσι, τὰς ἄλλας τὰς ἐν τῇ ἀκροπόλει οὔσας προσκαλεσάμεναι. δεῖ, δῆσον. ἐκ τῆς δέσεως κρᾶσιν. Δημόσιος ὤν.] δημοσίους λέγουσι, ὡς φησι Σοῖδας τοὺς τῆς πόλεως δούλους. τοιοῦτοι οἱ ὑπηρέται, καὶ τοξόται, καὶ Σκύθαι. Εἰδείας δεῖσ.] ἐφοβήθης. τοῦτο τὸ δέος ὅ ἐστι φόβος, παρῆκται τὸ δείδω, δείσω. τὸ φοβοῦμαι. ξυναρπάσει δὲ, Ἀττικῶς ἀντὶ τῆς ξυναρπάσεις. ἀνύσαντε δὲ, πεύσαντε μὴ πονδῆς ξυλλαβόντε, ταχέως δεῖτον. ταῦτα ἐν δυϊκῷ ἀριθμῷ. Νὴ τὴν Πάνδροσον.] Σοῖδας Πάνδροσον ὄνομα κύριον γυναικὸς ἔστι γράφει. Τίς δ' αὐτὴ ἐ δεδήλωκε. Παυσανίας δὲ τὴν Πάνδροσον μίαν τῶν τῆς Κέκροπος θυγατέρων ἔστι λέγει. τῷ ναῷ δὲ τῆς Ἀθηνᾶς ὁ Πανδρόσου ναὸς σύνεχης ἦν. ὥσπερ καὶ αὐτὸς ὁ Παυσανίας μαρτυρεῖ. ταύτην οὖν ἐνταῦθα νοητέον. ὑπηχεῖ δὲ Δωριστῶν, ὅπερ Ἀττικῶς ὑπηχεῖ, καὶ ὑπηχέω. κοινῶς δὲ, ὑπηχεῖς. Ἰδοὺ ὑπηχεῖ.] τὸ ἰδοῦ πρόσταγμα, ὃ καὶ ἰδὲ ποιητικῶς, πρὸς ἀκτικόν ἐστι τῆς εἴδειν ῥήματος, ὃ ἐν τῷ ἀορίστῳ β. καὶ εἶδον, καὶ τοῦτο τοῖς ποιηταῖς εἶδον ἄνευ διφθόγγου, ὅθεν ὁ β. ἀόριστος μ. ἰδόμην, ἐστο. καὶ ἐν τῷ προσακτικῷ ἰδοῦ, ἰδέσθω, ὡς τὸ τυποῦ, τυπέσθω. ἰδοὺ δὲ ὀξυνόμενον, ὑπόρρημα δεικτικὸν κοινῶς. τοῦτο δὲ τῷ Ἀριστοφάνει ἰδίαν τινὰ, καὶ χαρίεσσαν ἔχει χρῆσιν, ὅταν τὸ τέλος τῆς ὑμῖν ὑπ' ἄλλου τινὸς λεγομένου ἐπαναλαμβάνοντες εἰρωνικῶς αὐτῷ συγχωροῦμεν, ὡς ἐνταῦθα. καὶ γὰρ ἡ Στρατυλλὶς ταύτας ἀπειλὰς ὑπιτείνασα, ὑπηχεῖ τὰ λούμενος, ὁ ὑπηρέτης ὑποκείνομενος, καὶ αὐτὴν καταγελῶν, καὶ σκώπτων, αὐτίκα τὰς αὐτὰ τελευταίας λέξεις ἐπαναλαμβάνων ὑπιφέρει μετ' ἀγανακτήσεώς τινος, ἰδοὺ ὑπηχεῖ. Τὸ δὲ τοῦτο τοῖς ῥήτορσι, καὶ τῆς, ὡς ἔοικεν, εἰρωνικῶς λεχθέντων, σύνωνύμως ὑποφαίνεται. οὕτω καὶ ἐν τῇ Εἰρήνῃ, ἀγροικοῦ τινὸς τρυγᾶν ἐρωτῆς τοῖ γῆς οἱ θεοὶ εἶεν, ὁ Ἑρμῆς χλευάζων, καὶ εἰρωνευόμενος αὐτῷ ὑποκείνεται, ἰδοὺ γῆς. τὴν τοῦ ἀνδρὸς ἀπειρίαν, καὶ ἄγνοιαν μεμφόμενος, ὅτι τοῖς τῆς θεοῦ ὡς τοῖς τῆς ἀνθρώπων ἐφρόνει. καὶ ἐν Ἐκκλησιαζούσαις γυνή τις ἐκκλησιάζουσα λέγει,

Εἶτα πρὶν πιεῖν λέγω;

ἄλλη δὲ γυνὴ ὑποκείνεται, Ἰδὺ πιεῖν. ὅτω δὲ ταύτην αὖτη ψέγει. ὡς ἀκαίρως, καὶ ἀτόπως τοῖς πότε λόγους ποιεμένοις. καὶ μετ' ὀλίγον ἡ αὐτὴ αὖθις λέγει,

Τί δ' ὑ πίνεσι κἀν τῇ κλησιᾷ ἡ ὑπιφέρει,

Ἰδὺ γε δι πίνεσι.

καὶ δὴ καὶ πλείοσι ἄλλοις ἐν χωρείοις τοῦτο τὸ τούτῳ τῷ ποιητῇ, πλεῖστα ἑαυτῆς σημασίας τοῦτο δείγματα εὕρεις. ἔστιν ὅτε καὶ ὅτω λέγομεν καταφρονοῦντες τῆς λόγων, ὧν ἀκούομεν, καὶ παρ' οὐδὲν αὐτοὺς ἡγούμενοι. Κύαθον αἰτήσεις.] ἵνα δηλαδὴ, προσθῇ τῇ γνάθοις, ὅτως ὑποπιεσθήσῃ, καὶ τυφθήσῃ ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι. ταῦτα τοῦτο τῷ Σοῖδα. ὧν καὶ ἀφεῖς ἔραν ἔχεις ἐξήγησιν ἐν τῇ Εἰρήνῃ. ἐν τοῖς δὲ, κυάθοις προσκείμεθα, ὅπερ τὰ χόλια ὅτω γράφει, τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις τὰ ὑπωπία ἀναλείβοντες, ἀφανῆ ποιοῦσι. τοιούτοις γὰρ τοὺς ἐκ πληγῶν ἐθεράπευον μώλωπας. ἔστι δὲ μεθωνυμίας σχῆμα. Τὸ γὰρ ἐπόμενον, ἀντὶ τοῦ προηγούμενον λαμβάνει. τὸ προηγούμενον ὅστι, τὸ τύπτεσθαι. τὸ δὲ ἐπόμενον, τὸ τοιούτοις κυάθοις προσκολλωθεῖσι θεραπεύεσθαι. ὅμοιον τούτῳ καὶ τὸ λέγειν, οἰμώξεις, καὶ κλαύσεις. κύαθος δὲ, ὡς αὐτὸς ὁ Σοῖδας φησὶ, μέτρον ὑγρῶν, ὀγδοήκοντα β. ἢ κοχλιάριον. τοῦτο τὸ χύω, χύαθος. καὶ κατὰ τροπὴν τοῦ δασέως εἰς ψιλὸν κύαθος. Τὴν Ταυροπόλον.] τῆς Ἀρτέμιδος ὄνομα θετον, ἢ ὅτι ἐν Ταύροις Σκυθίας ἔθνει ἐτιμᾶτο, ἢ ὅτι τῆς ταύρων, καὶ τῆς ἄλλων τετραπόδων προσατεῖν μυθεύεται. τοῦ δὲ τούτου τοῦ ὀνόματος Εὐριπίδης ἐν Ἰφιγενείᾳ ἐν Ταύροις ταῦτα λέγει,

Ἐνταῦθ' τάξας ναὸν, ἵδρυσαι βρέτας
Ἐπώνυμον τῆς Ταυρικῆς, πόνων δ' σῶν,
Οὓς ἐξεμόχθεις περὶ πολῶν καθ' Ἑλλάδα,
Θέσπρωτοι Ἑλλήνων. Ἄρτεμιν δ' ἐν βροτοὶ
Τολοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.

ναὸν δ' τὸ ὀνόμαστον ἀντὶ τοῦ ὀνομαστὸν κυρίως καὶ ἀντονομασίαν ἐτέθη. πρόσει δ', προσελεύσῃ, προσέλθῃς. Ἐκκοκκιῶ.] ἐκτιλῶ, ἐκπάσω, ἀναπάσω. σὺν ὅκκοις κύτταις τεῖχας, ἐν αἷς τιλλομένη σὺν ἀζει. Σ. ἄλλως. τὰς σὺν τεῖχας ὡς κόκκους ἐκ τῆς ῥοιῶν πάσας καὶ μίαν ἐκ τῆς κεφαλῆς ἐκτιλῶ, ἐκπάσω, ἵν' ἐκτιλλομένων σὺν κωκύειν, σὺν ἀζειν, θρηνεῖν, καὶ δοᾷν ποιήσω. Ἐπιλέλοιφ' ὁ τοξότης.] ἐκ τούτων, καὶ ἐκ τῆς ἑξῆς, Ὁμόσε χωρῶμεν αὐτῷ ὦ Σκύθαι, τινὲς τεκμαίρονται τὰς τοξότας τῆς Σκυθῶν διενεγκεῖν. καὶ τὰς τοξότας ἢ τὰς αὐτὰς τοῖς Σκύθαις γεγονέναι. ἀλλὰ οὐδὲν κωλύει τὴν μὴν ὑπηρεσίαν τὴν αὐτὴν γενέσθαι, τὰ δὲ τῆς ὑπηρετούντων ὀνόματα, καὶ τὴν αὐτῆς ὀπλισιν διάφορον, τὴν δὲ τιμὴν ἁπάντων ὁμοίαν γεγονέναι. ἅπαντες γὰρ ἦσαν ὑπηρέται, καὶ φύλακες δημόσιοι. εἰ δὲ τις ἄλλην τοῦ τούτων ἔχοι γνώμην, πρὸς τὸν φιλονεικῶς οὐ διαμαχητέον. τίς δὲ τῆς τόξων, καὶ τοξοτῆς, καὶ τῆς ὁπλιτῆς διαφορὰ, τίς ἐστιν, ἢ φόρος, Εὐριπίδης διὰ πολλῶν ἐν τῷ Ἡρακλεῖ μαινομένῳ δηλοῖ. Γυναικῶν οὐδέποτ' ἔθ' ἡ ἡλία] ἢ πα, ἢ νίκη, ἢ νικώμεθα, ἢ τροπὴ, ἢ ἐλάττωσις, καὶ ἡ νίκη, ἢ τὸν ἄλλον νικῶντες ἥττω, καὶ ὑποδεέστερον ποιοῦμεν, τουτέστιν ἐλαττούμεν. ὅθεν τὸ ἡττᾶν, ἥττω, ἐλάττω τιθέναι, ἐλαττοῦν, νικᾶν. ἡττᾶσθαί τινος, νικᾶσθαι ὑπό τινος, καὶ αὐτὸ ἥττω γίνεσθαι. ὁ νοῦς, ἡ δεῖ ἡμᾶς ἐὰν ἡττᾶσθαι τῆς γυναικῶν, ἤγουν ὑπὸ τῆς γυναικῶν κρατεῖσθαι, καὶ νικᾶσθαι. ὅπερ αἰσχύνη ἡμῖν μεγίστη φέροι. Τοῦτο δὲ εἴρηται ὡς καὶ τὸ γαστρὸς ἡττᾶσθαι. καὶ τῆς ἡδονῆς ἡττᾶσθαι. τὴν δὲ αὐτὴν σύνταξιν τῶν ῥῆμα τοῦτο φυλάττει, ὥσπερ αὐτὸ τὸ ὄνομα. ὡς ὅταν λέγομεν ἡδονῆς, ἔρωτος, ἢ γαστρὸς ἥττων. Ὁμόσε χωρῶμεν.] ὁμόσε χωρεῖν, πολεμικῶς, ἢ ἐρωτικῶς συμβάλλειν. μάχῃ πρός τινα σύνιστασθαι. πολεμικῶς ὑπισχνεῖν τινι, μάχεσθαι. Ἐνδον.] ἢ ἐν πόλει. ἢ ἐν ἀκροπόλει. ὃ καὶ πιθανώτερον. ἐκεῖθεν ἔνδοθεν, ἐκ τῆς ἀκροπόλεως ἐκτρέχετε βοηθήσουσα. ἐξωπλισμένων δὲ, τουτέστι καλῶς ὡπλισμένων, καὶ πᾶσαν πολεμικὴν ὅπλισιν, καὶ παρασκευὴν ἐχουσῶν. ἡ γὰρ ἐξ προθέσεις ἐνταῦθα ἐκ ἔξω, οὐδὲ στέρησιν, ἀλλὰ παρασκευῆς τι πλήρωμα σημαίνει. Ὦ σπέρμα.] τουτέστιν, ὦ σπερμάτων, καὶ λεκίθων, καὶ λαχάνων ἀγοραιοπώλιδες. ἤγουν ὦ γυναῖκες σπέρματα, λεκίθους, καὶ λάχανα ἐν τῇ ἀγορᾷ πωλοῦσαι. ἐκ τῆς γὰρ ἀγορᾶς, τὸ ἀγοραῖος. ὅθεν τὸ σῶθετον γίνεται. λεκιθόπωλις ἡ, γυνὴ πωλοῦσα ὠά. καὶ λέκιθος, εἶδος ὀσπρίου ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ὠοῦ. καὶ λεκιθόπωλις, ἡ ὀσπριόπωλις, ὡς ἐνταῦθα. Σ.